Σχόλια. Εἰ μετ᾽ ὀρνίθων] εἰ μετ᾽ ὀρνίθων τις διάγειν βούλεται ἡδέως, τὸ λοιπὸν ὡς ἡμᾶς ἐλθέτω. Διαπλέκειν.] ἢ διαποικίλλειν ἢ διάγειν. Τῷ νόμῳ.] νόμον νῦν οὐ πάντα τὸν γεγραμμένον φησὶν ἀλλὰ τὸ ἔθος. Αἶρε πλῆκτρον εἰ μάχει.] πλῆκτρον ὅπλον ἀμυντήριον. ἡ μεταφορὰ ἀπὸ τῶν ἀλεκτρυόνων. κἀκεῖνοι γὰρ ἔχουσι πλῆκτρα ἐν οἷς μάχονται. ἃ ἡμεῖς κέντρα λέγομεν τῶν ὀρνίθων, ἐκεῖνοι πλῆκτρα. πλῆκτρα δέ εἰσι ἔμβολα χαλκᾶ τὰ ἐμβαλλόμενα τοῖς πλήκτροις τῶν ἀλεκτρυόνων.

A

Εἰ δὲ τυγχάνει τις ὑμῶν δραπέτης ἐστιγμένος,
Ἀτταγᾶς οὗτος παρ᾽ ἡμῖν ποικίλος κεκλήσεται.
Εἰ δὲ τυγχάνει τις ὢν Φρὺξ μηδὲν ἧττον Σπινθάρου,
Φρυγίλος ὄρνις ἐνθάδ᾽ ἔσται, τοῦ Φιλήμονος γένους.
Εἰ δὲ δοῦλός ἐστι Κὰρ, ὥσπερ Ἐξηκεστίδης,
Φυσάτω πάππους παρ᾽ ἡμῖν, καὶ φανοῦνται φράτορες.
Εἰ δ᾽ ὁ Πισίου προδοῦναι τοῖς ἀτίμοις τὰς πύλας
Βούλεται, πέρδιξ γενέσθω τοῦ πατρὸς νεόττιον.
Ὡς παρ᾽ ἡμῖν οὐδὲν αἰσχρόν ἐστιν ἐκπερδικίσαι.

*Si autem contingit aliquis vestrûm fugitiuus, signatus,*
*Attagas hic apud nos varius vocabitur,*
B *si autem contingit aliquis existens Phryx, nihil minus Spintharo.*
*Phregilus auis hic erit Philemone genere.*
*Si autem seruus est & Car, sicut Execestides,*
*Generet auos apud nos, & ostendentur consanguinei.*
*Si autem hic Pisii prodere inhonoratis portas*
*Vult, perdix fiat patris pullus,*
*Quòd apud nos nihil turpe est experdicissare.*

C

Σχόλια. Ἀτταγᾶς.] ὁ ἀτταγᾶς γὰρ κατάστικτός ἐστιν ποικίλοις πτεροῖς. Σπινθάρου.] οὗτος κωμῳδεῖται ὡς βάρβαρος καὶ Φρὺξ, ἔτι δὲ καὶ ὁ Φιλήμων. Ἐξηκεστίδης.] πολλαχοῦ προειπόμεν ὅτι ξένος ἐστὶ, πολλαχοῦ δὲ καὶ παρὰ τοῖς ἄλλοις κωμῳδεῖται. νῦν δὲ ὅτι Κάρ. Φυσάτω πάππους.] Εὐφρόνιός φησι πάππον ὄρνεόν τι εἶναι. πρὸς τὸ ὄνομα οὖν παίζει. ὅτι εἰ ἀναβάς τις πρὸς ἡμᾶς γενήσεται πάππος, ἕξει ἀποδεικνύναι φράτορας. ὅ ἐστι συγγενεῖς. οἱ γὰρ εὐθυνόμενοι ὡς ξένοι, ὠφείλουσι τοὺς ἰδίους πάππους ἐπιδεικνύναι, ἐκ τῆς φρατρίας ἄνωθεν ὄντας. Καλλίμαχος ἐκ ἀναγράφω τὸν πάππον. τρίτη δὲ μοῖρά ἐστι τῆς φυλῆς ἡ φρατρία οὕς τινας τριττὺν λέγει.

Bisetvs. Εὐστάθιος. Φράτορες, οἱ τῆς αὐτῆς φρατρίας, τουτέστι συγγενεῖς, καὶ συμφυλέται. ἀλλαχοῦ δὲ φράτορες σύστημα ἐν Ἀθήναις τοὺς τικτομένους πολίτας ἀπογραφόμενον. φρατρία δὲ ἐλέγετο τὸ τρίτον μέρος τῆς φυλῆς παρ᾽ Ἀθηναίοις. ἡ πάτρα ἐλέγετο παρ᾽ Ἴωσι. παρ᾽ Ὁμήρῳ δὲ φρήτρη. φρατρίζειν καὶ φρατριάζειν, τὸ εἰς φρατρίαν συνιέναι. φρατρίαι δὲ κατὰ Πολυδεύκην ἦσαν ιβ. καὶ ἐν ἑκάστῃ γένη τριάκοντα ἕκαστον ἐκ λ. ἀνδρῶν. φράτορες δὲ κατά τινας ἐλέχθησαν κυρίως οἱ τοῦ αὐτοῦ φρέατος κοινωνοῦντες, οἱονεὶ φρεάτορες, καὶ κατὰ συγκοπὴν φράτορες.

Σχόλια. Εἰ δ᾽ ὁ Πισίου προδοῦναι] οὐδὲν σαφὲς ἔχομεν τίς ὁ Πισίου, οὔτε περὶ τῆς προδοσίας. ὅτι δὲ, τὴν λίαν πονηρῶν ἐστι, δηλοῖ Κρατῖνος ἐν χείροσι πυλαίαις ὥραις. εἴη δ᾽ ἄν τι συμπεπραχὼς τοῖς Ἑρμοκοπίδαις ὁ Πισίου. οἵ τινες, ὡς Φιλόχορός φησιν, ἐπὶ χαβεῖν θανάτῳ τε κατεγνώσθησαν. καὶ τὰ ὀνόματα αὐτῶν ἐστηλιτεύθησαν. καὶ τῷ κτείναντι κατ᾽ ἄνδρα ἐκηρύχθη τάλαντον. ἄλλως. οἱ μὲν, τὸν Πισίαν ἕνα τῶν Ἑρμοκοπιδῶν εἶναι. οἱ δὲ τὸν υἱὸν αὐτοῦ. ἐτηροῦντο δὲ οὗτοι ὅπως ἂν δοῖεν τῆς περικοπῆς τιμωρίαν. εἰ οὖν φησὶν ὁ υἱὸς αὐτοῦ τοῦ Πισίου ὅμοιος βούλεται εἶναι τῷ πατρί, γενέσθω Πέρδιξ πανοῦργος. Κρατῖνος χείροσι. καὶ πρῶτα μὲν περὶ ναυτοδικῶν ἀπάγω, τρία κνώδαλα ἀναιδῆ. Πισίαν Ὀσφρύωνα. Διιτρεφῆ. Τοῦ πατρὸς νεόττιον] ὡς καὶ τοῦ αὐτοῦ, τοιούτου ὄντος, ἀποδρᾶναι ἀπὸ τῆς τοῦ πατρὸς πανουργίας. ἄλλως. ὁ πέρδιξ ὄρνεον πανοῦργον ὅπερ ἐξαπατᾷ τοὺς θηρεύοντας αὐτό. εἰ οὖν φησι καὶ ὁ υἱὸς αὐτοῦ τοιοῦτος βούλεται γενέσθαι, πέρδιξ γενέσθω ὅμοιος τῷ πατρί. Ἐκπερδικίσαι] διὰ τὸ πέρδικα αὐτὸν γενέσθαι. εἴρηται δὲ ἀπὸ τοῦ τοὺς πέρδικας καταλαμβανομένους ὑπ᾽ ἀνθρώπων, μηχανᾶσθαι τοιαύτην σωτηρίαν. λαμβάνοντες γὰρ κάρφη τοῖς ποσὶν, ὑπτίους ἑαυτοὺς ῥίπτουσι καὶ οὕτως ἐπικαλύπτουσι καὶ ἐκκλίνουσι. εἰς τὸ αὐτό. ἀντὶ τοῦ φυγεῖν. διαβάλλει δὲ ὡς κατεγνωσμένον καὶ φυγῇ ζημιωθέντα. οἱ δὲ πέρδικες πανοῦργοι ὄντες εὐχερῶς διαδιδράσκουσι τοὺς θηρευτάς. πολλάκις ὕπτιοι γενόμενοι καὶ ἐπιβάλλοντες ἑαυτοῖς κάρφη. φησὶν οὖν ὅτι καὶ παρ᾽ ἡμῖν γενόμενος, δύναται πάλιν φεύγειν. ἄλλως. ἐξάγων τοὺς νεοσσοὺς ὁ πέρδιξ εἰς καλανομὴν ἐπὰν ἄνθρωπον εἴδῃ, συρίζει. οἱ δὲ, ὑπτίους ἑαυτοὺς τιθέασιν, ὡς μὴ ψηλαφῶντά τινα ἐπιγνῶναι. εἶτα ὀλίγον προελθόντος τοῦ ἀνδρὸς, πάλιν συρίζει ὁ πατήρ. οἱ δὲ ἐξίστανται. τοῦτο οὖν ἐστι τὸ ἐκπερδικίσαι. εἰς τὸ αὐτό. Δίδυμος ἐν τῷ περὶ διεφθορυίας λέξεως, οὕτως. ἐπὰν ἴδῃ τὸν θηρευτὴν ἡ πέρδιξ, προκυλινδεῖται αὐτοῦ ἐπισπωμένη πρὸς ἑαυτήν. ὡς δὲ γίνεται περὶ τὸ ἀγρεῦσαι αὐτὴν, οἱ νεοσσοὶ φεύγουσιν, εἶτα καὶ αὐτὴ διαδρᾶσα, ὕστερον αὐτοὺς συνάγει.

D E F

ΑΝΤΩΔΗ ΚΑΙ ΑΝΤΙΣΤΡΟΦΗ κώλων ις´.

*Recantatio et inversio* membrorum sexdecim.

Χο. Τοιάδε κύκνοι,
Τιοτοτοτοτοτοτίγξ.
Συμμιγῆ βοὴν ὁμοῦ
Πτεροῖσι κρέκοντες, ἴακχον Ἀπόλλω
Τιοτιοτιοτιοτίγξ.

G CH. *Talem autem cygni,*
*Tio tio tio tio tinx,*
*Commixtione vocem simul*
*Alis strepentes sonuerunt Apollinem,*
*Tio tio tio tio tinx,*

Σχόλια. Τοιάνδε] ἡ ἀντῳδὴ καὶ ἀντιστροφὴ ὁμοία καθ᾽ ἕκαστον ἐστὶ τῇ στροφῇ καὶ ἀντιστροφῇ. ἐπὶ τῷ τέλει αἱ συνήθεις δύο διπλαῖ. Κρέκοντες.] ἠχοῦντες. διὰ τῆς τῶν πτερύγων κινήσεως ὑμνοῦν τὸν Ἀπόλλωνα.